λῶνος. αἴσωπος ἔφη, καὶ, ἀλλὰ μία ἀπέστη. ὁ δὲ ξάν-
θος φησὶ, ἔθος ἐστὶ σοι δραπέτα, τοῦ χλευάζειν με, καὶ
εὐθέως ἐκέλευσεν αὐτὸν ἐκδυθέντα τύπτεσθαι. τυπτομέ-
νου δὲ αὐτοῦ ἐλθών τις, ἐπὶ δεῖπνον μέγα ἐκάλει τὸν ξάνθον.
ὁ δὲ αἴσωπος ἔφη, οἴμοι ὁ τάλας. ἐγὼ ἰδὼν τὸ δικό-
ρωνον ἐμαστιγώθην. σὺ δὲ μονοκόρωνον ἰδὼν ἐπὶ τρυ-
φὴν πορεύῃ. οὐκ οὖν μάτην αἱ οἰωνοσκοπίαι καὶ ὀρνεοσκο-
πίαι. ὁ δὲ ξάνθος λέγει αὐτῷ, ποίησον ἡμῖν ἄριστον καλόν.
σχολαστικοὺς γὰρ κέκληκα. ὁ δὲ αἴσωπος τὰ πρὸς τὴν ἑ-
στίασιν αὐτῶν εὐτρεπίσας καὶ τῆς κυρίας αὐτοῦ ἐπὶ τῆς
κλίνης ἀνακειμένης, ἔφη πρὸς αὐτὴν, πρόσεχε τῇ τρα-
πέζῃ κυρία μου, μήπως ἐλθοῦσα ἡ κύων καταφάγῃ
τι τῶν ἐδεσμάτων. ἡ δὲ πρὸς αὐτὸν ἄπελθε μηδὲν πε-
ρὶ τούτου φροντίζων. ἐμοῦ γὰρ καὶ ὁ κῶλος ὀφθαλμοὺς
ἔχει. τοῦ δὲ αἰσώπου ἑτερ'' χρ.. ἀγολου'' καὶ πάλιν ἐπὶ

*Sic litterae a charta bibula absorptae erant.*